*Δαμόκριτος δ' ἐπ' ἐμοὶ τὸν ἐοικότα τύμβον, ὁδῖτα,*
*ἐγγύθεν Ὠρωποῦ χεῦεν ἀποφθιμένᾳ.*

# PHILETAS SAMIUS

## I

*πεντηκονταέτις καὶ ἐπὶ πλέον ἡ φιλέραστος*
*Νικιὰς εἰς νηὸν Κύπριδος ἐκρέμασεν*
*σάνδαλα καὶ χαίτης ἀνελίγματα, τόν τε διαυγῆ*
*χαλκὸν ἀκριβείης οὐκ ἀπολειπόμενον,*
*καὶ ζώνην πολύτιμον, ἅ τ' οὐ φωνητὰ πρὸς ἀνδρός·*
*ἀλλ' ἐσορᾷς πάσης Κύπριδος ὀπτασίην.*

## II

*ἁ στάλα βαρύθουσα λέγει τάδε· "τὰν μινύωρον*
*τὰν μικκὰν Ἀίδας ἅρπασε Θειοδόταν·"*
*χἀ μικκὰ τάδε πατρὶ λέγει· "πάλιν ἴσχεο λύπας,*
*Θειόδοτε· θνατοὶ πολλάκι δυστυχέες."*

# THEODORUS

## I

*σοὶ τὸν πιληθέντα δι' εὐξάντου τριχὸς ἀμνοῦ,*
*Ἑρμᾶ, Καλλιτέλης ἐκρέμασεν πέτασον*



SLUB Wir führen Wissen. http://digital.slub-dresden.de/id415776481/342 UNIVERSITÄT LEIPZIG